eul_wid: okq-ab

*Δίων ὁ Προυσαεύς ὁ Χρυσόστομος* · Dio Chrysostom of Prusa

# Fragments on Household Management

*Ἀποσπάσματα περὶ Οἰκονομίας*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Συναγωγή* Collection

1 (n) Stob. Flor. VII 28 Hense (VII 29 Mein.) Ἐκ τῶν Δίωνος Χρειῶν· Λάκαινα γυνὴ τοῦ υἱοῦ αὐτῆς ἐν παρατάξει χωλωθέντος καὶ δυσφοροῦντος ἐπὶ τούτῳ, Μὴ λυποῦ, τέκνον, εἶπεν· καθ’ ἕκαστον γὰρ βῆμα τῆς ἰδίας ἀρετῆς ὑπομνησθήσῃ.

2 (n) Stob. Flor. XIII 42 H. (XIII 24 M.) Ἐκ τῶν Δίωνος Χρειῶν· Τὴν ἐπιτίμησιν ὁ Διογένης ἀλλότριον ἀγαθὸν ἔλεγεν εἶναι.

3 (n) Stob. Flor. XXXIV 16 H. M. Ἐκ τῶν Δίωνος Χρειῶν· Τῶν συνόντων τις μειρακίων Διογένει ἐρωτώμενος ὑπ’ αὐτοῦ ἐσιώπα. ὁ δὲ ἔφη, Οὐκ οἴει τοῦ αὐτοῦ εἶναι εἰδέναι ἅ τε λεκτέον καὶ πότε καὶ τίνα σιωπητέον καὶ πρὸς τίνα;

4 (n) Stob. Flor. XLII 12 H. M. Δίωνος ἐκ τοῦ Οἰκονομικοῦ. (idem lemma fr. V—IX) Ἀρξόμεθα δὲ ἀπὸ τοῦ μάλιστα ὠφελοῦντος οἰκίαν· εἴη δ’ ἂν τοῦτο ἐπιτίμησις διαβολῆς· διαβολὴ γὰρ κακῶν τὸ ὀξύτατον [καὶ ἐπιβουλότατον].

5 (n) Stob. Flor. LXII, 46 M. Χρὴ οὖν δεσπόζειν ἐπιεικῶς καὶ ἀνεθῆναί ποτε βουλομένοις ἐπιτρέπειν. αἱ γὰρ ἀνέσεις παρασκευαστικαὶ πόνων εἰσί, καὶ τόξον καὶ λύρα καὶ ἄνθρωπος ἀκμάζει δι’ ἀναπαύσεως.

6 (n) Stob. Flor. LXXIV, 59 M. Εὐσέβεια δὲ γυναικεία ὁ πρὸς τὸν ἄνδρα ἔρως.

7 (n) Stob. Flor. LXXIV, 60 M. Γέλως δὲ συνεχὴς καὶ μέγας θυμοῦ κακίων, διὰ τοῦτο μάλιστα ἑταίραις ἀκμάζων καὶ παίδων τοῖς ἀφρονεστέροις. ἐγὼ δὲ κοσμεῖσθαι πρόσωπον ὑπὸ δακρύων ἡγοῦμαι μᾶλλον ἢ ὑπὸ γέλωτος. δάκρυσι μὲν γὰρ ὡς ἐπὶ τὸ πλεῖστον σύνεστι καὶ μάθημά που χρηστόν, γέλωτι δὲ ἀκολασία. καὶ κλάων μὲν οὐδεὶς προυτρέψατο ὑβριστήν, γελῶν δὲ ηὔξησεν αὐτοῦ τὰς ἐλπίδας.

8 (n) Stob. Flor. LXXXV, 12 M. Μέγα γὰρ δυσώπημα σωφροσύνης τέκνωσις.

9 (n) Stob. Flor. LXXXV, 13 M. Ἀλλὰ τὸ μὲν τίκτειν ἀνάγκης ἔργον ἐστί, τὸ ἐκτρέφειν δὲ φιλοστοργίας.

10 (n) [Max. Flor. (Vat. gr. 397f. 81 b ) Δίωνος τοῦ Χρυσοστόμου· Πῶς οὐ δεινὸν τοῖς μὲν θεοῖς ἐνοχλεῖν, αὐτοὺς δὲ μὴ βούλεσθαι πράττειν ἅ γε ἐφ’ ἡμῖν εἶναι δοκεῖ τοῖς θεοῖς.]

11 (n) [Max. Flor. (Vat. gr. 397f. 159 b ) Δίωνος τοῦ Χρυσοστόμου· Κινδύνων ἐλπὶς ἄνευ κινδύνων τίθησι τὸν ἐλπίζοντα τῷ προησφαλίσθαι τῶν δυσχερῶν τῇ δοκήσει τὰ πράγματα.]

12 (n)

[Max. Flor. (Vat. gr. 739f. 217 a ) Δίωνος τοῦ Χρυσοστόμου· Πονηρίαν γὰρ ἀρχομένην μὲν κωλῦσαι τάχα τις κολάζων 〈ἄν〉 δυνηθείη· ἐγκαταγεγηρακυῖαν δὲ καὶ γεγενημένην τῶν εἰθισμένων 〈κρατῆσαι διά τινων ἐπικειμένων〉 τιμωριῶν ἀδύνατον εἶναι λέγουσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org